43

479 π.Χ. Σηστός. Ολ. 75.2.

.. ἤδη δὲ πραχθέντων (ἐν Μυκάλῃ) συνέβη τὴν Διοδ. Σικε-
δύναμιν τῶν Ἑλλήνων σχισθῆναι, καὶ τοὺς μὲν Λακε- λιώτε
δαιμονίους εἰς τὴν Λακωνικὴν ἀποπλεῦσαι, τοὺς Βιβλ. XI
δὲ Ἀθηναίους μετὰ τῶν Ἰώνων καὶ τῶν νησιωτῶν ἐ- Κεφ. ΚΖ'
πὶ Σηστὸν ἀπάραι. Ξάνθιππος δὲ ὁ στρατηγὸς Σελ. 235
εὐθὺς ἐκ καταπλοῦ προσβολὰς τῇ πόλει ποιησά-
μενος εἷλε Σηστὸν καὶ φρουρὰν ἐγκαταστήσας
τοὺς μὲν συμμάχους ἀπέλυσεν, αὐτὸς δὲ μετὰ τῶν
πολιτῶν ἀνέκαμψεν εἰς τὰς Ἀθήνας.

411 π.Χ. Ολ. 92.2.

. . . Μίνδαρος δ' ὁ τῶν Λακεδαιμονίων ναύαρ- Βιβλ. XIII
χος . . . . . ἐκπλεύσας εἰς Ἑλλήσποντον ἐκομί- Κεφ. 39
ζετο κατὰ σπουδήν . . . . . . . . οἱ δ' Ἀθηναῖοι . . Σελ. 435
. . . . . . εἰς Ἐλαιοῦντα καταπλεύσαντες τὰ περὶ τὴν
ναυμαχίαν παρεσκευάζοντο . . .
εὐθὺς μὲν (οἱ Λακεδαιμόνιοι) ἐκ τῆς πρὸς τὴν Ἀσί-
αν μέρους ἔστησαν τὰς ναῦς, οἱ δ' Ἀθηναῖοι τὸ πρὸς
τὴν Εὐρώπην ἔχοντες ἀντανήγοντο, τῷ μὲν πλήθει λει-
πόμενοι ταῖς δ' ἐμπειρίαις ὑπερέχοντες . . . . .

44

Θ. 75. 2 Σηστός 411 π.Χ.

. . . ὀλίγον χρόνον ἀλλήλοις περιέπλεον, θαυμ-
άζοντες τὰ γινόμενα περὶ τὴν λάσιν, ναυμαχήσαντες· με-
ταξὺ γὰρ Ἀβύδου καὶ Σηστοῦ τῆς ναυμαχίας γινο-
μένης συνέβαινε τὸν ῥοῦν κατὰ τὰς ἐμπορίας ἐμποδίζειν
ἐν ξέναις θέσεσι. ἡ μὲν ἀλλὰ τῶν Ἀθηναίων κυ-
βερνῆται πολὺ ταῖς ἐμπειρίαις προέχοντες πολλὰ
πρὸς τὴν νίκην συνεβάλοντο. . . . . .
. . . . . ἰσορρόπου δὲ τῆς μάχης οὔσης, ἐπε-
φάνησαν ὕστερον εἴκοσι νῆες Χίαι πέντε πα-
ρὰ τῶν συμμάχων ἀπεσταλμέναι τοῖς Ἀθηναί-
οις. φοβηθέντες δὲ οἱ Πελοποννήσιοι πρὸς τὴν Ἄ-
βυδον ἔφυγον. . . . . . τῆς δὲ ναυμα-
χίας τοιοῦτο τέλος λαβούσης, Ἀθηναῖοι ναῦς ἔ-
λαβον ὀκτὼ μὲν Χίων, πέντε δὲ Κορινθίων
. . . . . . μετὰ δὲ ταῦτα οἱ περὶ τὸν
Θρασύβουλον ἔστησαν τρόπαιον ἐπὶ τῆς ἄκρας
ἢ τὸ τῆς Ἑκάβης ἐστὶ μνημεῖον . . . . .
αὐτοὶ δὲ μετὰ τὸ τέλος τῶν πρὸς ἐπὶ Κύζικον
ἐπλεύσαντο . . . . . . . . τὰ χρήματα
πραξάμενοι τῶν Κυζικηνῶν ἀπέπλευσαν ἐς Ση-
στόν.

# Σηστὸς 410 π.Χ. Ολ. 92. 3

43. . Ἀθήνησι μὲν ἦρχε Γλαύκιππος . . . ∴ Κεφ. 45

45. - - Δωριεὺς ὁ Ῥόδιος ναύαρχος . . . . ἐν Σελ. 442.
Ἀβύδῳ διατρίβων συνῆγε πανταχόθεν τὰς συμ-
μαχούσας ναῦς τοῖς Πελοποννησίοις. ἤδη δὲ τῷ Δωρι-
εῖ ὄντι περὶ τὸ Σίγειον τῆς Τρῳάδος οἱ περὶ Ση-
στὸν ὄντες Ἀθηναῖοι συνιδόντες τὸν παράπλουν
ἀνήχθησαν εἰς αὐτὸν πάσαις ταῖς ναυσὶν οὔσαις ἑ-
βδομήκοντα καὶ τέτταρσιν. . . . . . . . .
τέλος δ' οἱ μὲν Λακεδαιμόνιοι πρὸς τὴν γῆν κα- Σελ. 444-5
τενεχθέντες ἔφυγον πρὸς τὸ πεζὸν τὸ Φαρναβά-
ζου στρατόπεδον, οἱ δ' Ἀθηναῖοι . . . . ἀπέπλευ-
σαν εἰς Σηστόν. . . .

47 τῆς δὲ ναυμαχίας ἄδηλον τὸ τέλος λαβούσης Ἀ-
θηναῖοι τότε μὲν εἰς Σηστὸν ἀπέπλευσαν ἤδη νυ-
κτὸς οὔσης, ἅμα δ' ἡμέρᾳ τὰ ναυάγια συνήγαγον
καὶ πρὸς τῷ πρότερον τροπαίῳ πάλιν ἕτερον ἔστη-
σαν.

410 π.Χ. Ολ. 92.3. Σηστός.

Κεφ 49 ... ὁ δὲ Μίνδαρος, ἤδη τοῦ χειμῶνος λήγοντος, συν-
Σελ 448. ήγαγε τὰς πανταχόθεν τριήρεις. - - ... οἱ δ᾽ ἐν Σηστῷ τῶν Ἀθηναίων στρατηγοί, συνθανόμενοι τὸ μέγεθος τοῦ συναγομένου τοῖς πολεμίοις στόλου, περιδεεῖς ἦσαν μήποτε πάσαις ταῖς τριήρεσιν ἐπιπλεύσαντες οἱ πολέμιοι κυριεύσωσι τῶν νεῶν· ὅθεν αὐτοὶ μὲν καθελκύσαντες τὰς οὔσας ἐν Σηστῷ ναῦς περιέπλευσαν τὴν Χερρόνησον καὶ καθωρμίσθησαν εἰς Καρδίαν· εἰς δὲ Θράκην πρὸς Θρασύβουλον καὶ Θηραμένην ἔπεμψαν τριήρεις παρακαλοῦντες μετὰ τοῦ στόλου τὴν ταχίστην ἥκειν· μετεπέμψαντο δὲ καὶ τὸν Ἀλκιβιάδην ἐκ Λέσβου μεθ᾽ ὧν εἶχε νεῶν, καὶ συνήχθη πᾶς ὁ στόλος εἰς ἕνα τόπον, σπευδόντων τῶν στρατηγῶν περὶ τῶν ὅλων διακινδυνεῦσαι.

405 π.Χ. Ολ. 93.4 ..

Κεφ. 106 .... τῶν δὲ στρατιωτῶν οἱ πλεῖστοι μὲν κατὰ γῆν φυ-
Σελ 522. γόντες (1) εἰς Σηστὸν διεσώθησαν ..... ἐπὶ δὲ τοὺς εἰς Σηστὸν καταφυγόντας Ἀθηναίους στρατεύσας (Λύσανδρος) τὴν μὲν πόλιν εἷλε, τοὺς δ᾽ Ἀθηναίους ὑποσπόνδους ἀφῆκεν.

(1) μετὰ τὴν ἐν Αἰγὸς ποταμοῖς ναυμαχίαν.

Σηστός. Καρδία. 411 π.Χ.

Χερρόνησος. Ἔτους.

47

«Ἀρχέλαος δ' ὁ τῶν Μακεδόνων βασιλεὺς τῶν Πυδναίων ἀπειθούντων, πολλῇ δυνάμει τὴν πόλιν περιεστρατοπέδευσε. Παρεβοήθησε δ' αὐτῷ καὶ Θηραμένης ἔχων στόλον, ὃς χρονιζούσης τῆς πολιορκίας, ἀπέπλευσεν εἰς Θρᾴκην, πρὸς Θρασύβουλον τὸν ἀφηγούμενον τοῦ παντὸς στόλου. . . — Διόδ. Σικ. Βιβ. ΙΓ. 49.

. . . . . . . . . . Οἱ δ' ἐν Σάμῳ τῶν Ἀθηναίων στρατηγοὶ συνθανόμενοι τὸ μέγεθος τῆς συναγομένης τοῖς πολεμίοις δυνάμεως, περιδεεῖς ἦσαν μὴ ταῖς τριήρεσιν ἐπιπλεύσαντες οἱ πολέμιοι κυριεύσωσι τῶν νεῶν. Ὅθεν αὐτοὶ μὲν καθελκύσαντες τὰς ἑξήκοντα ναῦς, περιέπλευσαν τὴν Χερρόνησον, καὶ καθωρμίσθησαν εἰς Καρδίαν· εἰς δὲ Θρᾴκην πρὸς Θρασύβουλον καὶ Θηραμένην ἔπεμψαν τριήρεις παρακαλοῦντες μετὰ τοῦ στόλου τὴν ταχίστην ἥκειν· μετεπέμψαντο δὲ καὶ τὸν Ἀλκιβιάδην ἐν Λέσβῳ μεθ' ὧν εἶχε νεῶν· καὶ συναχθέντος ὁμοῦ τοῦ στόλου εἰς ἕνα τόπον, ἔσπευδον οἱ στρατηγοὶ περὶ τῶν ὅλων διακινδυνεῦσαι. Μίνδαρος δ' ὁ τῶν Λακεδαιμονίων ναύαρχος πλεύσας εἰς Κύζικον, πᾶσαν τὴν δύναμιν ἐξεβίβασε, καὶ τὴν πόλιν περιεστρατοπέδευσε. Παρεγενήθη δὲ καὶ Φαρνάβαζος μετὰ πολλῆς στρατιᾶς· μεθ' οὗ πολιορκήσας ὁ Μίνδαρος, εἷλε τὴν Κύζικον κατὰ κράτος. Οἱ δὲ μετὰ τῶν Ἀθηναίων στρατηγοὶ κρίναντες ἐπὶ Κύζικον πλεῖν, ἀνήχθησαν μετὰ πασῶν τῶν νεῶν, καὶ τὴν Χερρόνησον περιέπλευσαν. Καὶ πρῶτον μὲν εἰς Ἐλαιοῦντα παρεγένοντο· μετὰ δὲ ταῦτα ἐφιλοτιμήθησαν νυκτὸς τὴν τῶν Ἀβυδηνῶν πόλιν παραπλεῦσαι πρὸς τὸ μὴ καταφανῆναι τὸ πλῆθος τῶν νεῶν ὑπὸ τῶν πολεμίων.»

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Σηστός

357 π.Χ. 106.4 Ολυμπ.

Επί άρχοντος Αθήνησι Θουδήμου. — Διοδ. Σικελιώτη

.. Χάρης δε ο των Αθηναίων στρατηγός καταπλεύσας εις Ελλήσποντον, και Σηστόν πόλιν ελών, τους μεν ηβώντας απέσφαξε, τους δ' άλλους εξηνδραποδίσατο. — Βιβλ. XVI Κεφ. 34 Σελ. 83.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ